[illegible]

ΙΛΙΑΔΟΣ Μ

Ὣς ὁ μὲν ἐν κλισίῃσι μενοιτίου ἄλκιμος υἱὸς
ἰᾶτ' εὐρύπυλον βεβλημένον· οἳ δὲ μάχοντο
ἀργεῖοι καὶ τρῶες ὁμιλαδόν. οὐδ' ἄρ' ἔμελλε
τάφρος ἔτι σχήσειν δαναῶν. καὶ τεῖχος ὕπερθεν
εὐρύ. τὸ ποιήσαντο νεῶν ὕπερ. ἀμφὶ δὲ τάφρον
ἤλασαν· οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας.
ὄφρά σφιν νῆάς τε θοὰς καὶ ληΐδα πολλὴν
ἐντὸς ἐχὸν ῥύοιτο. θεῶν δ' ἀέκητι τέτυκτο
ἀθανάτων. τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν ἕκτωρ ζωὸς ἔην καὶ μήνι' ἀχιλλεύς.
καὶ πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλε.
τόφρα δὲ καὶ μέγα τεῖχος ἀχαιῶν ἔμπεδον ἦεν.
αὐτὰρ ἐπεὶ κατὰ μὲν τρώων θάνον ὅσσοι ἄριστοι.
πολλοὶ δ' ἀργείων οἳ μὲν δάμεν οἳ δὲ λίποντο.
πέρθετο δὲ πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ.
ἀργεῖοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν.
δὴ τότε μητιόωντο ποσειδάων καὶ ἀπόλλων
τεῖχος ἀμαλδῦναι. ποταμῶν μένος εἰσαγαγόντες.
ὅσσοι ἀπ' ἰδαίων ὀρέων ἅλαδε προρέουσι·
ῥῆσός θ'. ἑπτάπορός τε. κάρησός τε. ῥοδίος τε.
γρήνικός τε. καὶ αἴσηπος. δῖός τε σκάμανδρος.
καὶ σιμόεις. ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι· καὶ ἡμιθέων γένος ἀνδρῶν.
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε φοῖβος ἀπόλλων.
ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόον. ὗε δ' ἄρα ζεὺς

[illegible]

συνεχές. ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θείη·
αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν
ἡγεῖτ'. ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε
φιτρῶν καὶ λάων. τὰ θέσαν μογέοντες Ἀχαιοί·
λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον.
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψε.
τεῖχος ἀμαλδύνας. ποταμοὺς δ' ἔτρεψε νέεσθαι
κὰρ ῥόον. ᾗ περ πρόσθεν ἵει καλλίρροον ὕδωρ·
ὣς ἄρ' ἔμελλον ὀπίσσω Ποσειδάων καὶ Ἀπόλλων
θησέμεναι. τότε δ' ἀμφὶ μάχη ἐνοπή τε δεδήει
τεῖχος ἐΰδμητον· κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'. Ἀργεῖοι δὲ Διὸς μάστιγι δαμέντες.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐελμένοι ἰσχανόωντο·
Ἕκτορα δειδιότες κρατερὸν μήστωρα φόβοιο·
αὐτὰρ ὅ γ' ὡς τὸ πρόσθεν ἐμάρνατο ἶσος ἀέλλῃ·
ὡς δ' ὅτ' ἂν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῇσι
κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων·
οἱ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες
ἀντίον ἵστανται. καὶ ἀκοντίζουσι θαμειὰς
αἰχμὰς ἐκ χειρῶν. τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ
ταρβεῖ. οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα·
ταρφέα τε στρέφεται. στίχας ἀνδρῶν πειρητίζων·
ὅππῃ τ' ἰθύσῃ· τῇ τ' εἴκουσι στίχες ἀνδρῶν·
ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐλίσσεθ' ἑταίρους·
τάφρον ἐποτρύνων διαβαινέμεν· οὐδέ οἱ ἵπποι οβ

[illegible]

τόλμων ὠκύποδες· μάλα δὲ χρεμέτιζον ἐπ' ἄκρῳ
χείλει ἐφεσταότες· ἀπὸ γὰρ δειδίσσετο τάφρος
εὐρεῖ', οὔτ' ἄρ ὑπερθορέειν σχεδὸν οὔτε περῆσαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
ἕστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσιν
ὀξέσιν ἠρήρει, τοὺς ἵστασαν υἷες Ἀχαιῶν
πυκνοὺς καὶ μεγάλους, δηΐων ἀνδρῶν ἀλεωρήν.
ἔνθ' οὔ κεν ῥέα ἵππος ἐΰτροχον ἅρμα τιταίνων
ἐσβαίη· πεζοὶ δὲ μενοίνεον εἰ τελέουσι.
δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους·
ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ
ὀξέες ἑστᾶσιν, ποτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν·
ἔνθ' οὔ πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ δὴ πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ' ἀρήγειν,
ἦ τ' ἂν ἔγωγ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς·
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
οὐκέτ' ἔπειτ' οἴω οὐδ' ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ' Ἀχαιῶν.
ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες.

ἕστασαν ἀμφοτέρωθεν· ἕστασαν ἡ διπλῆ· τὸ μὲν πρότερον ἕστασαν δασύνει ὁ Ἀρίσταρχος, ἔστι δὲ ἤπερ τὸ αὐτό ἐστι τὸ ἔστησαν, ὥσπερ ἐστήσαμεν· καὶ ἡμεῖς δασύνομεν τὸ ἐν [illegible] παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐστὶ τῶν ῥημάτων. τὸ μέντοι δεύτερον [illegible] δυνάμει γὰρ ταὐτὸν ἔστησαν· οὓς ἔστησαν γὰρ οἱ Ἀχαιοί. τὸ δὲ ἐκ τοῦ ἀορίστου ἐστὶ τῶν ῥημάτων ἐψιλοῦν συγκατατίθεται δὲ καὶ ὁ Ἀσκαλωνίτης τῇ τοιαύτῃ ἀναγνώσει καὶ ἡμεῖς.

ὀξέσιν ἠρήρει· ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἕστησαν. διὸ καὶ τινὲς ἁμαρτάνουσι μετατιθέντες γὰρ τὸ στοιχεῖον [illegible] ὀξεῖς ἑστᾶσιν, ἕστασαν ἀμφοτέρωθεν δασύνοντες.

ἐσβαίη· ἡ Ζηνοδότειος καὶ Ἀριστοφάνους ἐκβαίη. καὶ γὰρ ἐπιφέρει ἔνθ' οὔ πως ἐστὶ καταβήμεναι οὐδὲ μάχεσθαι.

δὴ τότε Πουλυδάμας· ὅτι ἔμφασις ἡ πρὸς τὸν Ἕκτορα, ὡς καὶ τὸ τῶν [illegible] εἶπε [illegible] μὲν [illegible] καταδὲ τὸ ἐξῆς εἶναι παρὰ Ἕκτορα [illegible] ὁμιλεῖ πειθὼ προθέσιν.

ἱππεῦσι στεῖνος γάρ· ὅτι τὸ [illegible] κατάντικρυ γέφυραν τῆς τάφρου λέγει Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης ἱππῆας προπαροξύνουσιν [illegible] οὐδέτερος γὰρ ἐξεμένεται, παρ' αὐτῷ δὲ οὐδέτερον ἤτοι [illegible] ὀνόματι [illegible] [illegible] ὀξύνεσθαι [illegible] [illegible] οὕτως τὸ [illegible] οὐδέτερον γὰρ γενόμενον [illegible] [illegible]

εἰ δέ χ' ὑποστρέψωσι· προπερισπωμένως· ὅτι ἐστὶν παλίωξις ὅταν μεταναστρεφόμενοι διώκωσιν οἱ διωκόμενοι· ἡ δὲ ἀναφορὰ πρὸς τὸ Ἕκτορ ὅτε δ' αὖτις ἐστίν παλίωξιν [illegible]

Ἀριστοφάνης διὰ πάσαν

[illegible] περί

Ἀρίσταρχος εἰ μὲν γὰρ τοὺς πάγχυ· ἵετ' ἀρήγειν· οὕτως πᾶσαι

Ζηνόδοτος ἀτοῦτ' ἔως ἂν ἐγὼ εἴπω

† αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες: ἔχει μέν τινα διλογίαν ὁ στίχος ἐπεὶ καὶ σὺν τεύχεσι καὶ θωρηχθέντες [illegible] τὸ σὺν τεύχεσιν ἢ τοῖς ἄλλοις προσδοτέον [illegible] διλογία γένηται. ἢ τοῖς ἑξῆς [illegible] πρόθεσις [illegible] τὴν μὲν [illegible] καὶ [illegible] τὸ πρότερον:—

ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ. — ἀντιτείρω κωλυέτωσαν.

> αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες — ὁ σαφοῦντες [illegible] πρυλέες.

ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες. αὐτὰρ ἀχαιοὶ

οὐ μενέουσ'. εἰ δή σφιν ὀλέθρου πείρατ' ἐφῆπται. — [illegible] πείρατ' ἐπι[illegible]

ὣς φάτο πουλυδάμας. ἅδε δ' ἕκτορι μῦθος ἀπήμων.

αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.

οὐδὲ μὲν ἄλλοι τρῶες ἐφ' ἵππων ἠγερέθοντο.

ἀλλ' ἀπὸ πάντες ὄρουσαν. ἐπεὶ ἴδον ἕκτορα δῖον.

ἡνιόχοι μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος

ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ. — [illegible] ἐπὶ τάφρῳ:—

οἱ δὲ διαστάντες. σφέας αὐτοὺς ἀρτύναντες.

πένταχα κοσμηθέντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.

οἱ μὲν ἅμ' ἕκτορ' ἴσαν καὶ ἀμύμονι πουλυδάμαντι.

οἱ πλεῖστοι καὶ ἄριστοι ἔσαν· μέμασαν δὲ μάλιστα

τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυσὶ μάχεσθαι. — ἐπὶ [illegible] τεῖχος ῥηξάμενοι κοίλαις ἐπὶ νηυσὶ μάχεσθαι

καί σφιν κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεσφι.

ἄλλον κεβριόναο χερείονα κάλλιπεν ἕκτωρ.

> τῶν δ' ἑτέρων πάρις ἦρχε καὶ ἀλκάθοος καὶ ἀγήνωρ.

τῶν δὲ τρίτων ἕλενος καὶ δηΐφοβος θεοειδὴς

υἷε δύω πριάμοιο. τρίτος δ' ἦν ἄσιος ἥρως.

> ἄσιος ὑρτακίδης. ὃν ἀρίσβηθεν φέρον ἵπποι.

> αἴθωνες, μεγάλοι, ποταμοῦ ἄπο σελλήεντος.

τῶν δὲ τέταρτον ἦρχεν ἐῢς πάϊς ἀγχίσαο

αἰνείας. ἅμα τῷ γε δύω ἀντήνορος υἷε

ἀρχέλοχός τ' ἀκάμας τε. μάχης εὖ εἰδότε πάσης.

οἱ δὲ διαστάντες σφέας αὐτοὺς: τραχὺ διαστάντες καὶ κατὰ πέντε μέρη [illegible] καὶ κατὰ τοῦτο ἕποντο. οἱ δὲ [illegible] τὸ ἕκαστοι. [illegible] τοῖς ἑξῆς οἱ μὲν ἅμ' ἕκτορι ἴσαν:—

τῶν δ' ἑτέρων πάρις ἦρχε: [illegible] τοῦ δευτέρου τάγματος [illegible] εἴρηκε [illegible]:—

πάρις καταγελαστὸς ἔχων [illegible] ἑκάβη ὄναρ ἐθεάσατο, ὅτι ἔτεκε δαλὸν [illegible] πᾶσα κατεφλέχθη ἡ π[όλις]. τοῦ οὖν [illegible] μάντεων ἐξέθηκε [illegible] ὑπὸ τῶν [illegible] βουκόλου [illegible] πάρις [illegible] ἀλέξανδρος [illegible] πολεμίων [illegible]:—

ἄσιος ὑρτακίδης [illegible] τῆς [illegible]:—

αἴθωνες μεγάλοι ποταμοῦ ἄπο σελλήεντος: ὁ σελλήεις ποταμὸς ἐστὶ [illegible] ἑτέρου τοῦ ἐν θεσπρωτίᾳ:—

σαρπηδὼν δ' ἡγήσατ' ἀγακλειτῶν ἐπικούρων.
πρὸς δ' ἕλετο γλαῦκον καὶ ἀρήϊον ἀστεροπαῖον.
οἳ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι
τῶν ἄλλων μετά γ' αὐτόν· ὃ δ' ἔπρεπε καὶ διὰ πάντων·
οἳ δ' ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι.
βάν ῥ' ἰθὺς δαναῶν λελιημένοι. οὐδ' ἔτ' ἔφαντο
σχήσεσθ'. ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι·
ἔνθ' ἄλλοι τρῶες τηλεκλειτοί τ' ἐπίκουροι.
βουλῇ πουλυδάμαντος ἀμωμήτοιο πίθοντο·
ἀλλ' οὐχ ὑρτακίδης ἔθελ' ἄσιος ὄρχαμος ἀνδρῶν
αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα·
ἀλλὰ σὺν αὐτοῖσιν πέλασεν νήεσσι θοῇσι·
νήπιος. οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας.
ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος. παρὰ νηῶν
ἂψ ἀπονοστήσειν προτὶ ἴλιον ἠνεμόεσσαν·
πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψεν
ἔγχεϊ ἰδομενῆος ἀγαυοῦ δευκαλίδαο·
εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά. τῇ περ ἀχαιοὶ
ἐκ πεδίου νίσοντο σὺν ἵπποισιν καὶ ὄχεσφιν.
τῇ ῥ' ἵππους τε καὶ ἅρμα διήλασεν. οὐδὲ πύλῃσιν
εὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα.
ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες. εἴ τιν' ἑταίρων
ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας·
τῇ ῥ' ἰθὺς φρονέων ἵππους ἔχε· τοὶ δ' ἅμ' ἕποντο
ὀξέα κεκλήγοντες· ἔφαντο γὰρ οὐκέτ' ἀχαιοὺς

\+ οἳ δ' ἐπεὶ ἀλλήλους ἄραρον· [illegible]

βάν ῥ' ἰθὺς δαναῶν λελιημένοι· [illegible]

σχήσεσθ' ἀλλ' ἐν νηυσί· [illegible]

ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος· [illegible]

ἂψ ἀπονοστήσειν προτὶ ἴλιον· [illegible]

εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά· [illegible]

εὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα· [illegible]

τῇ ῥ' ἰθὺς φρονέων· [illegible]

\+ ὀξέα κεκλήγοντες· [illegible]

+ νήπιοι· ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους: Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἅπαντα ἀνέρε ἀρίστω υἷε ὑπερθύμω κ(αὶ) ἑξῆς :— Λαπιθάων αἰχμητάων: Λαπίθαι ἥρωες ἀρχαῖοι οἱ ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στιλβῆς (?) νύμφης τὸ γένος ἔχοντες :—

σχήσεσθ'· ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι·
νήπιοι· ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους·
υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων·
τὸν μὲν Πειριθόου υἷα κρατερὸν Πολυποίτην·
τὸν δὲ Λεοντῆα βροτολοιγῷ ἶσον Ἄρηϊ·
τὼ μὲν ἄρα προπάροιθε θυράων ὑψηλάων
ἕστασαν· ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι· ΟΓ
αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα·
ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ' ἀραρυῖαι·
ὣς ἄρα τὼ χείρεσσι πεποιθότες ἠδὲ βίηφι
μίμνον ἐπερχόμενον μέγαν Ἄσιον· οὐδὲ φέβοντο·
οἳ δ' ἰθὺς πρὸς τεῖχος ἐΰδμητον· βόας αὔας
ὑψόσ' ἀνασχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ·
Ἄσιον ἀμφὶ ἄνακτα· καὶ Ἰαμενόν· καὶ Ὀρέστην·
Ἀσιάδην τ' Ἀδάμαντα· Θόωνά τε Οἰνόμαόν τε·
οἳ δ' ἤτοι ἑῶς μὲν ἐϋκνήμιδας Ἀχαιοὺς
ὄρνυον ἔνδον ἐόντας ἀμύνεσθαι περὶ νηῶν·
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν
Τρῶας· ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε·
ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόσθε μαχέσθην·
ἀγροτέροισι σύεσσιν ἐοικότε· τώ τ' ἐν ὄρεσσιν
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα· ΟΔ
δοχμώ τ' ἀΐσσοντε· περὶ σφίσιν ἄγνυτον ὕλην
πρυμνὴν ἐκτάμνοντε· ὑπαὶ δέ τε κόμπος ὀδόντων
γίγνεται· εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·

οἳ δ' ἰθὺς πρὸς τεῖχος: ὅτι οὐ τὰς ἀσπίδας βόας αὔας. ἰθύς δὲ τὸ κατ' εὐθεῖαν· εἶτα προσέδει τὸ ἐΰθετον :—

βόας αὔας: ὀξυτονοῦσί τινες τὸ ἰθύς πλείους μὲν καὶ ὀξύνει. διὰ τὸ μὴ συμφράζομεν ἐπεὶ καὶ τὸ ξηρὸν ὀξύνεται. εἴρηται δὲ περὶ τῶν τοιούτων ὅτι οὐ δεῖ προσομοφράζεσθαι τοὺς λεξικογράφους. ὁ δὲ κανὼν τῆς ἀκεντήτου χρήσεως ... κεῖνται· μονήρης ἐστὶν ἡ λέξις· οὐδὲ γὰρ ... καταφέρουσι ... ἀδιφθόγγῳ· κατὰ ταύτην ἡ μεγέθους ... τρίγονος ... διὸ οὐδὲ ἀντιπαράθεσιν ἔσχεν· τὸ δὲ ... ἐστὶ ... καὶ τὸ τραῦος ... παρακείμενον :—

Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν ὀρέστην: ... εἰς ... :—

εἷος μέν: ἀντὶ τοῦ τέως μὲν κεῖται· οἷον μέχρι τινός· διὸ προσηπτικὸν ... κεῖται :—

Τρῶας ἀτὰρ Δαναῶν: ὑποστικτέον καὶ φόβος, πρὸς τὸ ἀκόλουθον τοῦ συνδέσμου τοῦ ἑξῆς ἐκ δὲ τὼ ἀΐξαντε. ἡ διπλῆ δὲ ὅτι τὸ φόβος ἀντὶ τοῦ φυγή :—

ἐκ δὲ τὼ ἀΐξαντε: ἀκριβὴ τὸ σύνηθες ... τὸ ἀΐξαντε διαστέλλειν :—

κολοσυρτόν: παρὰ τὸ κολούειν σύρειν ... τὸν κολούμενον συριγμόν :—

δοχμώ τ' ἀΐσσοντε: ὀξυτονητέον· ἐπεὶ γὰρ δυϊκὸν τὸ δοχμός ὀξύνεται· ... ὀξύνεσθαι θέλει· ... λοχμός· ταύτης πλοχμός ... ὀξυτονητέον· οὐ τοσοῦτον καὶ τὸ δοχμός :—

περὶ σφίσιν: ὀρθοτονητέον· εἰς γὰρ σὺν θέσιν μεταλαμβάνεται :—

+ λαοῖσιν καθύπερθε· οἱ περὶ ζηνόδοτον χαλκοῖ τοῖς μὲν εἰς προπεπεισμένοις ... ἐστι γὰρ τοῦ πρὶν θεοῦ ὁ λόγος οὐ ... λαοῖς γὰρ ... κει μου τὸ ... λέγει· — ἅς τ' ἄνεμος ζαής· ... καὶ ... παραιτητέον ... τοῖς ... μένειν ... [illegible]

ταρφειάς· ἀρίσταρχος ὁ γραμματικὸς ... ὁ μείζων ... πρὸς ... τῷ τάρφει ἀριθμητικοῦ ... παρὰ τοῖς ... καὶ πας ... ἀγαμέμνονος ... [illegible]

ὡς τῶν ἐκ χειρῶν βέλεα ῥέον· προσθεῖν ... τοῦ ποιητοῦ ... [illegible]

ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς

ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο

λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφι.

οἳ δ' ἄρα χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων

βάλλον ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων

οε νηῶν τ' ὠκυπόρων· νιφάδες δ' ὣς πῖπτον ἔραζε.

ἅς τ' ἄνεμος ζαὴς νέφεα σκιόεντα δονήσας

ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ·

ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον ἠμὲν ἀχαιῶν

ἠδὲ καὶ ἐκ τρώων· κόρυθες δ' ἀμφ' αὖον ἀΰτευν

βαλλόμεναι μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι·

δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ

ἄσιος ὑρτακίδης· καὶ ἀλαστήσας ἔπος ηὔδα·

ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο

πάγχυ μάλ'· οὐ γὰρ ἐγώ γ' ἐφάμην ἥρωας ἀχαιοὺς

σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.

ος οἳ δ' ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι

οἰκία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,

οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες

ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων·

ὣς οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε

χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι.

ὣς ἔφατ'· οὐδὲ διὸς πεῖθε φρένα ταῦτ' ἀγορεύων·

ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι.

— ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν.

αὖον ἀΰτευν· ... [illegible] ... παρὰ περικέλλαν· —

φιλοψευδής· ... [illegible] ... πάγχυ μάλ' ... [illegible] —

οἳ δ' ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι· ... [illegible] —

μέσον αἰόλοι· ποικίλοι ... τοῦ σώματος ... [illegible]

ἄνδρας θηρητῆρας· ... [illegible] —

ἄλλοι δ' ἀμφ' ἄλλῃσι· ... [illegible]

... [illegible]

ἡ πάντῃ γὰρ περὶ τεῖχος: λιθίνου τοῦ τείχους ὄντος πῶς τὸ πῦρ ὡς ἐπὶ ξυλίνου; [illegible] φησὶ πανταχόθεν τοῦ τείχους· ἔχει δὲ ἔμφασιν ὁ λόγος :– ἄλλως· ἢ τὸ θεσπιδαὲς τῆς μάχης πῦρ φησί· δύναται δὲ καὶ κυρίως [illegible] ἢ ὡς τὸ τεῖχος αὐτὸ ἐμπρῆσαι [illegible] :– βραχυλογεῖται τὸ ἐπὶ τὸ πῦρ [illegible] τεῖχος λάϊνον τὸ ἑξῆς, ἀκαχείατο γὰρ λάϊνον πῦρ εἰπεῖν :– Ἀργεῖοι δὲ καὶ ἀχνύμενοι περ ἀνάγκῃ: ἡ [illegible] λέξις· ἡ [illegible] ὀφείλει [illegible] ἢ ὡς σαφέστερον [illegible] [illegible] δύνατον δὲ καὶ [illegible] [illegible] ἀρχὴν [illegible] ἠμύνοντο [illegible] ἐπιτάρροθοι· ἡ γὰρ [illegible] ἐπιτάρροθοι [illegible] μεταφορά [illegible] :–

— ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ᾽ ἀγορεῦσαι·
— πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
— λάϊνον· ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ
— νηῶν ἠμύνοντο· θεοὶ δ᾽ ἀκαχείατο θυμὸν
— πάντες· ὅσοι δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν:
σὺν δ᾽ ἔβαλον λαπίθαι πόλεμον καὶ δηϊοτῆτα·
ἔνθ᾽ αὖ πειριθόου υἱὸς κρατερὸς πολυποίτης
δουρὶ βάλεν δάμασον κυνέης διὰ χαλκοπαρῄου·
οὐδ᾽ ἄρα χαλκείη κόρυς ἔσχεθεν· ἀλλὰ διαπρὸ
αἰχμὴ χαλκείη ῥῆξ᾽ ὀστέον· ἐγκέφαλος δὲ
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα·
αὐτὰρ ἔπειτα πύλωνα καὶ ὄρμενον ἐξενάριξεν·
υἱὸν δ᾽ ἀντιμάχοιο λεοντεὺς ὄζος ἄρηος
ἱππόμαχον βάλε δουρὶ κατὰ ζωστῆρα τυχήσας·
αὖτις δ᾽ ἐκ κολεοῖο ἐρυσσάμενος ξίφος ὀξὺ·
ἀντιφάτην μὲν πρῶτον ἐπαΐξας δι᾽ ὁμίλου
πλῆξ᾽ αὐτοσχεδίην· ὁ δ᾽ ἄρ᾽ ὕπτιος οὔδει ἐρείσθη·
αὐτὰρ ἔπειτα μένωνα· καὶ ἰαμενὸν· καὶ ὀρέστην·
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ·
ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα μαρμαίροντα·
τόφρ᾽ οἳ πουλυδάμαντι καὶ ἕκτορι κοῦροι ἕποντο·
τεῖχός τε ῥήξειν, καὶ ἐνιπρήσειν πυρὶ νῆας·
οἵ ῥ᾽ ἔτι μερμήριζον ἐφεσταότες παρὰ τάφρῳ·
ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν
αἰετὸς ὑψιπέτης· ἐπ᾽ ἀριστερὰ, λαὸν ἐέργων.

ἰαμενὸν καὶ ὀρέστην: ἀρίσταρχος [illegible] φησίν [illegible] ἀπὸ τοῦ ὀρμᾶσθαι [illegible] δὲ προκρίνειν [illegible] ἀρισταρχου [illegible] αὐτοῦ :–

ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα μαρμαίροντα: [illegible] μαρμαίρειν [illegible] διαφορὰν [illegible] ἢ [illegible] οἵ ῥ᾽ ἔτι μερμήριζον [illegible] σημειώσεως [illegible] :–

αἰετὸς ὑψιπέτης: [illegible] ἀφορίζονται [illegible] ἀριστερὸν [illegible] :–

β ἔν ποτ᾽ ἐμὸν μὲν τὸ [illegible] ἔργων τοὺς πρώτους ἀργείους [illegible]

τὰ ἀριστερὰ [illegible] συνάπτειν ἐπ᾽ ἀριστερὰ λαὸν ἐέργων :– ὑψιπέτης: ἀρίσταρχος [illegible] [illegible] ὑψιπέτης [illegible] καὶ ἀπὸ τοῦ [illegible] ζητεῖ καὶ ἡ [illegible] καὶ ἡ παρέκτασις [illegible] ὑψιπέτης [illegible] ἀλλ᾽ [illegible] ἀριστερὰ [illegible] ἐπ᾽ ἀριστερὰ λαὸν ἐέργων, [illegible] ἀριστερὰ [illegible] ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν. καὶ [illegible] :–

β οἱ πλεῖστοι καὶ ἄριστοι ἔσαν· μέμασαν δὲ μάλιστα

+ κόψε γὰρ αὐτὸν ἔχοντ(α)· ὅτι [illegible] τὴν ἀντωνυμίαν κατὰ [illegible] μέμνηται καὶ Ἡρωδιανὸς καὶ Ἀπολλώνιος:–
ἰδνωθείς. ἡ λοξωθεὶς [illegible] οὕτως καὶ Ἀλεξίων καὶ οἱ ἄλλοι· προείρηται δὲ ἐν τῇ [illegible]:–
Ἕκτορ ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις· [illegible] καὶ παρεῖται ἡ πρό[illegible] ἐσθλὰ φραζομένῳ· [illegible] ἀγορῇσιν, ἀντὶ τοῦ [illegible] εἴρηκεν:– δῆμον ἐόντα· [illegible] ἀντὶ [illegible] δῆμον [illegible] Ἡρωδιανός + αἰόλον ὄφιν· [illegible] καὶ [illegible] πέτοντο [illegible] καὶ καλεῖται μείουρος:–

φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον.
ζωὸν ἔτ' ἀσπαίροντα· καὶ οὔ πω λήθετο χάρμης.
κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν
ἰδνωθεὶς ὀπίσω· ὁ δ' ἀπὸ ἕθεν ἧκε χαμᾶζε
ἀλγήσας ὀδύνῃσι· μέσσοις δ' ἐνὶ κάββαλ' ὁμίλῳ·
αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
Τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν
κείμενον ἐν μέσσοισι Διὸς τέρας αἰγιόχοιο·
δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς.
Ἕκτορ ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῇσιν
ἐσθλὰ φραζομένῳ· ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν· οὔτ' ἐνὶ βουλῇ
οὔτε ποτ' ἐν πολέμῳ· σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι· εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν.
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν. ἄφαρ δ' ἀφέηκε. πάρος φίλα οἰκί' ἱκέσθαι
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς. εἴ πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλῳ· εἴξωσι δ' Ἀχαιοί.
οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν. οὕς κεν Ἀχαιοὶ
χαλκῷ δῃώσωσιν· ἀμυνόμενοι περὶ νηῶν.

β αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων.

† ὧδέ χ' ὑποκρίναιτο θεοπρόπ(ος):- εἰδείη τεράων: ἀμφίβολον εἰ μὲν γὰρ ἐπὶ τὸ πλησίον ὃς σάφα θυμῷ εἰδείη τεράων καί οἱ πειθοίατο λαοί, καὶ τοῦτο παρείληφεν ὡς ἀξιοπιστίαν ἀπὸ τοῦ μάντεως. εἰ δὲ χωρίζοιτο τὸ [illegible] ὑποστιγμή. ἐκεῖνο μὲν ἔσται διαμάντευσιν ὃς σάφα θυμῷ εἰδείη τεράων, τὸ δὲ ἑξῆς [illegible] ὑπόκειται θεοπρόπ(ος) καί οἱ πειθοίατο λαοί. οὕτως ἂν ὑπόκειται [illegible] μάντις καὶ αὐτοὶ πεισθείη τὸ πλῆθος:- τὸν δ' ἄρ' ὑπόδρα ἰδών: ὁ Ζηνόδοτος γράφει τὸν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ· [illegible] τὸ τὸν δ' ἄρ' ὑπόδρα ἰδών· εὖ θεὸς γὰρ [illegible] ὁ θεός:- πουλυδάμα: ὁ Ἀρίσταρχος χωρὶς τοῦ ν παρὰ τὴν ἀναλογίαν· Ζηνόδοτος δὲ καὶ [illegible] σὺν τῷ ν Πουλυδάμαν:-

ἀντὶ τοῦ ἀπεκρίνατο· ἐξηγούμενος τὸ σημεῖον

ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος. ὃς, σάφα θυμῷ
εἰδείη τεράων. καί οἱ πειθοίατο λαοί·
× τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Πουλυδάμα· σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι·
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί·
ὃς κέλεαι. Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλέων· ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσε·
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι. τῶν οὔ τι μετατρέπομ', οὐδ' ἀλεγίζω.
> εἴτ' ἐπὶ δεξί' ἴωσι. πρὸς ἠῶ τ' ἠέλιόν τε·
εἴτ' ἐπ' ἀριστερὰ τοί γε. ποτὶ ζόφον ἠερόεντα·
ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ·
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει·
εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης·
τίπτε, σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα·
εἴπερ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἐπ' Ἀργείων. σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι.
οὐ γάρ τοι κραδίη μενεδήϊος. οὐδὲ μαχήμων·
εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι. ἠέ τιν' ἄλλον
παρφάμενος ἐπέεσσιν. ἀποτρέψεις πολέμοιο.
αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπεὶς. ἀπὸ θυμὸν ὀλέσσεις·
ὣς ἄρα φωνήσας ἡγήσατο. τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεσπεσίῃ. ἐπὶ δὲ Ζεὺς τερπικέραυνος

Ἡρακλέους πορθήσαντος Ἴλιον Πρίαμος ὁ Λαομέδοντος παραλαβὼν τὴν βασιλείαν [illegible] μαντικὸς [illegible] πρεσβύτατον [illegible] χρησμοὺς λαμβάνουσι. καὶ Πάνθουν [illegible] κατασταθεὶς μαντικῇ [illegible] Πρίαμος δὲ οὕτως θυγατέρα [illegible] Πολυδάμαντα [illegible] μαντικὰ [illegible] τοῦτον [illegible]:-

Βουλέων: ἡ πρὸ τέλους λέξις ὑπὸ τῆς συνηθείας τοῖς [illegible] δίδοται. [illegible] καὶ τοῖς [illegible]:-

Εἴτ' ἐπὶ δεξί' ἴωσι: δύο διαστάσεις οἱ [illegible] κόσμου. ἀνατολὰς [illegible] καὶ δεξιὰ μὲν τὰ πρὸς ἀνατολήν, ἀριστερὰ δὲ τὰ πρὸς δύσιν λέγει:-

εἷς οἰωνὸς ἄριστ(ος): εἴπερ [illegible]:-

† ὦρσεν ἀπ' ἰδαίων ὀρέων: ὅτι [illegible] ἀπὸ τῶν μερῶν [illegible] ὅτι [illegible] ὀξύ:·

: ἥ ῥ' ἰθὺς νηῶν κονίην: ὅτι τὸ ἰθὺς ἐπιρρηματικῶς τέθειται, ἀντὶ τοῦ εὐθείας [illegible]

κρόσσας μὲν πύργων ἔρυον: ὅτι κρόσσας ἐν μὲν τοῖς ὑπομνήμασι κεφαλίδας, ἐν δὲ τοῖς περὶ τοῦ ναυστάθμου κλίμακας· καὶ τὸ ἔρυον ἀντὶ τοῦ [illegible] τοὺς πύργους εἷλκον:— κρόσσας μὲν [illegible] τοῦ [illegible] τοὺς πύργους· τὰς κλίμακας εἷλκον [illegible] κρόσσας [illegible] ναυσταθμ[illegible] τὸν πρὸ τοῦ λόγον κρόσσαι [illegible] κλίμακες [illegible] τὰ μηχανήματα [illegible] τοῖς τείχεσιν:—

στήλας τε προβλῆτας: στήλας [illegible] παρὰ τὸ ἵστασθαι [illegible] ὅθεν καὶ προβλῆτας [illegible] κατακεκλιμένας ὑπὸ τῶν πολεμίων:—

τὰς οἵ γ' αὖ ἔρυον: ὅτι [illegible] εἷλκον προς [illegible] μὲν πρῶται:—

ἔχματα πύργων: [illegible] στήριγμα [illegible] προ τοῦ χώματος [illegible] τοῦ [illegible] σωζομένου [illegible]:—

ὄρσεν ἀπ' ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν·

ἥ ῥ' ἰθὺς νηῶν κονίην φέρεν· αὐτὰρ ἀχαιῶν

θέλγε νόον, τρωσὶ δὲ καὶ ἕκτορι κῦδος ὄπαζε·

τοῦ περ δὴ τεράεσσι πεποιθότες ἠδὲ βίηφι

ῥήγνυσθαι μέγα τεῖχος ἀχαιῶν πειρήτιζον·

κρόσσας μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξεις·

στήλας τε προβλῆτας ἐμόχλεον· ἃς ἄρ' ἀχαιοὶ

πρώτας ἐν γαίῃ θέσαν, ἔμμεναι ἔχματα πύργων·

τὰς οἵ γ' αὖ ἔρυον· ἔλποντο δὲ τεῖχος ἀχαιῶν

ῥήξειν· οὐδέ νύ πω δαναοὶ χάζοντο κελεύθου·

ἀλλ' οἵ γε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις,

βάλλον ἀπ' αὐτάων δηΐους ὑπὸ τεῖχος ἰόντας·

ἀμφοτέρω δ' αἴαντε κελευτιόωντ' ἐπὶ πύργων

πάντοσε φοιτήτην, μένος ὀτρύνοντες ἀχαιῶν·

ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι

νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα ἴδοιεν·

ὦ φίλοι ἀργείων, ὅς τ' ἔξοχος, ὅς τε μεσήεις,

ὅς τε χερειότερος· ἐπεὶ οὔ πω πάντες ὁμοῖοι

ἀνέρες ἐν πολέμῳ· νῦν ἔπλετο ἔργον ἅπασι·

καὶ δ' αὐτοὶ τόδε που γιγνώσκετε· μή τις ὀπίσσω

τετράφθω ποτὶ νῆας, ὁμοκλητῆρος ἀκούσας·

ἀλλὰ πρόσω ἵεσθε, καὶ ἀλλήλοισι κέλεσθε·

αἴ κε ζεὺς δώῃσιν ὀλύμπιος ἀστεροπητὴς

νεῖκος ἀπωσαμένους δηΐους προτὶ ἄστυ δίεσθαι·

ὣς τώ γε προβοῶντε μάχην ὤτρυνον ἀχαιῶν·

ἄλλον μειλιχίοις: [illegible] ἀμφοτέρας ἀρχῆς. κοινὸν δὲ τὸ νείκεον, εἰ δὲ μὴ ἁρμόζει τοῖς μειλιχίοις λόγοις τὸ νεικεῖν [illegible] ἐπιτηδείως [illegible] κατ' [illegible] δύναται δὲ καὶ [illegible] τὸ μειλιχίοις ἵνα [illegible] προσδιδῶμεν τὸ [illegible] ἁρμόζει γὰρ ὀτρύνειν μειλιχίοις [illegible] ἀπ' ἄλλης ἀρχῆς [illegible] στερεοῖς ἐπέεσσι νείκεον:—

ὅς τε χερειότερος: ὁ μέσος καὶ ὁ ἔξοχος ἐστὶ καὶ ὁ ἐλάχιστος. καὶ ὁ μέσος. νῦν τοῦ [illegible] ἔργον [illegible] νῦν ἔπλετο ἔργον ἅπασιν ὅς τ' ἔξοχος ὅς τε μεσήεις ὅς τε χερειότερος:—

νεῖκος ἀπωσαμένους: [illegible] ἐπὶ τὴν μετοχὴν [illegible]:— δηΐους προτὶ ἄστυ δίεσθαι· τὸ δίεσθαι ἡ παράδοσις προπαροξύνει καὶ [illegible]. ὅτι [illegible] τὸ δίενται [illegible] καὶ ἐνδίεσαν [illegible] δίεσθαι προπαροξυνομένως [illegible] τὸ ἀπαρέμφατον τίθεσθαι [illegible] πεδίοιο δίενται καὶ αὐτὸς ἐνδίεσαν [illegible] τὸ ἀπαρέμφατον δίεσθαι [illegible]:— ὣς τώ γε προβοῶντε: κατ' ἔνια τῶν ὑπομνημάτων [illegible] καὶ [illegible]

† [illegible]

ἀριστάρχειος [illegible] τὴν νίκην [illegible]

† τῶν δ' ὥστε νιφάδες· μικρὸν πρόσθεν ἐχρήσατο τῇ εἰκόνι [illegible] [illegible] χιόνα :—

νιφέμεναι οἱ: [illegible] Διὸς. χιόνος [illegible]

χέει ἔμπεδον, [illegible] ἀρίσταρχος [illegible] :—

κῦμα δέ μιν προσπλάζον ἐρύκεται: [illegible]

εἴλυται: [illegible]

[illegible]

τῶν δ' ὥστε νιφάδες χιόνος πίπτωσι θαμειαὶ

ἤματι χειμερίῳ, ὅτε τ' ὤρετο μητίετα Ζεὺς οζ

νιφέμεν ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα·

κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ

ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους

καὶ πεδία λωτοῦντα καὶ ἀνδρῶν πίονα ἔργα·

καί τ' ἐφ' ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκταῖς,

κῦμα δέ μιν προσπλάζον ἐρύκεται· ἄλλα τε πάντα

εἴλυται καθύπερθ', ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος·

ὣς τῶν ἀμφοτέρωσε λίθοι πωτῶντο θαμειαί,

αἱ μὲν ἄρ' ἐς Τρῶας, αἱ δ' ἐκ Τρώων ἐς Ἀχαιούς,

βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.

οὐδ' ἄν πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ

τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα,

εἰ μὴ ἄρ' υἱὸν ἑὸν Σαρπηδόνα μητίετα Ζεὺς

ὦρσεν ἐπ' Ἀργείοισι, λέονθ' ὡς βουσὶν ἕλιξιν.

αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐΐσην,

καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺς

ἤλασεν, ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς

χρυσείῃς ῥάβδοισι διηνεκέσιν περὶ κύκλον.

τὴν ἄρ' ὅ γε πρόσθε σχόμενος, δύο δοῦρε τινάσσων,

βῆ ῥ' ἴμεν ὥστε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς οη

δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ

μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·

εἴ περ γάρ χ' εὕρῃσι παρ' αὐτόφι βώτορας ἄνδρας

ἐξήλατον: ἀρίσταρχος [illegible]

ἤλασεν: [illegible]

† χρυσείῃς ῥάβδοισι διηνεκέσιν περὶ κύκλον: [illegible]

μήλων πειρήσοντα: [illegible]

βώτορας ἄνδρας: [illegible]

+ σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντ(ας) περὶ μῆλα. σημειοῦνταί τινες ἐνταῦθα ὅτι περισσὴ ἡ πρόθεσις ἡ περί:-

ἀντίθεον σαρπηδόνα· εὐρώπην τὴν φοίνικος ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη· ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει· οὕτως τὴν εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς κρήτην ἐμίγη. εἶθ' οὕτως συνῴκισεν αὐτὴν ἀστερίωνι τῷ κρητῶν βασιλεῖ. γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, μίνωα, σαρπηδόνα καὶ ῥαδάμανθυν. ἡ ἱστορία παρ' ἡσιόδῳ καὶ βακχυλίδῃ:-

σὺν κυσὶ καὶ δούρασι φυλάσσοντας περὶ μῆλα.
οὔ ῥά τ' ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι·
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξε μετάλμενος. ἠὲ καὶ αὐτὸς
ἔβλητ' ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι·
ὥς ῥα τότ' ἀντίθεον σαρπηδόνα θυμὸς ἀνῆκε
τεῖχος ἐπαΐξαι. διά τε ῥήξασθαι ἐπάλξεις.
αὐτίκα δὲ γλαῦκον προσέφη παῖδ' ἱππολόχοιο·
γλαῦκε, τί ἦ, νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρῃ τε. κρέασίν τε. ἰδὲ πλείοις δεπάεσσιν
ἐν λυκίῃ· πάντες δὲ θεοὺς ὣς εἰσορόωσι.
καὶ τέμενος νεμόμεσθα μέγα ξάνθοιο παρ' ὄχθας
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο·
τὼ νῦν χρὴ λυκίοισι μέτα πρώτοισιν ἐόντας
ἑστάμεν. ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι.
ὄφρά τις ὧδ' εἴπῃ λυκίων πύκα θωρηκτάων.
οὐ μάν. ἀκλεέες λυκίην κατακοιρανέουσιν
ἡμέτεροι βασιλῆες. ἔδουσί τε πίονα μῆλα.
οἶνόν τ' ἔξαιτον μελιηδέα· ἀλλ' ἄρα καὶ ἲς
ἐσθλή. ἐπεὶ λυκίοισι μέτα πρώτοισι μάχονται·
ὦ πέπον· εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε.
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
ἔσσεσθ'. οὔτέ κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην.
οὔτέ κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ' ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
μυρίαι· ἃς οὐκ ἔστι φυγεῖν βροτὸν. οὐδ' ὑπαλύξαι.

+ νῦν δ' ἔμπης γὰρ κῆρες: τὸ ἑξῆς ἐστι νῦν δ' [illegible] ἀγχοῦ ὀρέγομεν [illegible] +

ἴομεν ἠέ τῳ· ὅτι ἀντὶ τοῦ ἴωμεν καὶ ὀρέξωμεν. καὶ ὅτι συνεκδέξασθαι δεῖ τὸ ὀρέξηι ὁ πρὸς οὖν [illegible] [illegible]

πάπτηνεν δ' ἀνὰ πύργον ἀχαιῶν· τὸ ἀχαιῶν ἑκατέροις δύναται προσδίδοσθαι [illegible] τοῖς προτέροις. [illegible] τῶν ἡγεμόνων [illegible] καὶ [illegible] βῆ δὲ θέειν παρὰ τεῖχος ἀχαιῶν· — ἐς δ' ἐνόησ' αἴαντε δύω: ὅτι αὐτοὺς ἀριστεῖς [illegible] [illegible] —

\> ἴομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν.
\> ὣς ἔφατ'· οὐδὲ γλαῦκος ἀπετράπετ', οὐδ' ἀπίθησε·
τὼ δ' ἰθὺς βήτην, λυκίων μέγα ἔθνος ἄγοντε.
τοὺς δὲ ἴδων ῥίγησ' υἱὸς πετεῶο, μενεσθεύς·
τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν, κακότητα φέροντες.
πάπτηνεν δ' ἀνὰ πύργον ἀχαιῶν, εἴ τιν' ἴδοιτο
ἡγεμόνων, ὅς τίς οἱ ἀρὴν ἑτάροισιν ἀμύναι·
\> ἐς δ' ἐνόησ' αἴαντε δύω πολέμου ἀκορήτω
ἑσταότας, τεῦκρόν τε νέον κλισίηθεν ἰόντα·
ἐγγύθεν· ἀλλ' οὔ πώς οἱ ἔην βώσαντι γεγωνεῖν.
τόσσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ' οὐρανὸν ἷκε,
βαλλομένων σακέων καὶ ἱπποκόμων τρυφαλειῶν,
καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο· τοὶ δὲ κατ' αὐτὰς
ἱστάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐσελθεῖν.
αἶψα δ' ἐπ' αἴαντα προΐει κήρυκα θοώτην·
ἔρχεο δῖε θοῶτα, θέων αἴαντα κάλεσσον·
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
÷ ὧδε γὰρ ἔβρισαν λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
÷ εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν·
\> ἀλλά περ οἶος ἴτω τελαμώνιος ἄλκιμος αἴας·
καί οἱ τεῦκρος ἅμα σπέσθω, τόξων ἐῢ εἰδώς.
ὣς ἔφατ'· οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας·
βῆ δὲ θέειν παρὰ τεῖχος ἀχαιῶν χαλκοχιτώνων·

γεγωνεῖν· ὁ ἀσκαλωνίτης [illegible] ἀρίσταρχος [illegible] [illegible] [illegible] [illegible] παρὰ τῷ ποιητῇ [illegible] [illegible] [illegible] [illegible]

καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο· ὅτι πᾶσαι ἀντὶ τοῦ ὅλως [illegible] [illegible] [illegible] ἐπῴχατο [illegible] ζηνόδοτος ἐπῴχατο·

ἐπῴχατο· [illegible] [illegible]

αἶψα δ' ἐπ' αἴαντα προΐει· ὅτι [illegible] κήρυκος [illegible] [illegible] ζηνόδοτος [illegible] ἀμφοτέροις τὰς [illegible] [illegible]

ἔρχεο δῖε θοῶτα· ὅτι [illegible] [illegible] [illegible] [illegible] [illegible] ὧδε γὰρ ἔβρισαν· [illegible] [illegible] εἰ δέ σφιν καὶ κεῖθι· ὅτι ζηνόδοτος γράφει εἰ δέ σφιν καὶ κεῖθι [illegible]

[illegible] καί οἱ τεῦκρος ἅμα σπέσθω· [illegible] [illegible]

στῆ δὲ παρ' Αἰάντεσσι κιών, εἶθαρ [εὐθέως] δὲ προσηύδα·
Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
ἠνώγει [ἐκέλευσε] Πετεῶο διοτρεφέος φίλος υἱὸς
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον [ἀπαντήσητον],
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
— καί οἱ Τεῦκρος ἅμ' [ἴτω] ἑσπέσθω τόξων εὖ εἰδώς.
ὣς ἔφατ', οὐδ' ἀπίθησε μέγας Τελαμώνιος Αἴας·
αὐτίκ' Ὀϊλιάδην ἔπεα πτερόεντα προσηύδα·
Αἶαν, σφῶϊ μὲν αὖθι, σὺ καὶ κρατερὸς Λυκομήδης,
ἑσταότες Δαναοὺς ὀτρύνετον ἶφι μάχεσθαι·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω [ἀπαντήσω μετὰ σχ] πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπαμύνω.
ὣς ἄρα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας.
— καί οἱ Τεῦκρος ἅμ' ἤϊε [ἀπήρχετο] κασίγνητος καὶ ὄπατρος·
τοῖς δ' ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα.
εὖτε Μενεσθῆος μεγαθύμου πύργον ἵκοντο
τείχεος ἐντὸς ἰόντες, ἐπειγομένοισι [ἐσπουδασμένοις] δ' ἵκοντο.
οἱ δ' ἐπ' ἐπάλξεις βαῖνον ἐρεμνῇ λαίλαπι ἶσοι
ἴφθιμοι Λυκίων ἡγήτορες ἠδὲ μέδοντες·
σὺν δ' ἐβάλοντο μάχεσθαι ἐναντίον, ὦρτο δ' ἀϋτή.

ὧδε γὰρ ἔβρισαν: ὁ Ζηνόδοτος γράφει κεῖσε γὰρ ἔβρισαν, οὐχ ὑγιῶς· εἰς ἐκεῖνον τὸν τόπον. δεῖ γὰρ ἐν ἐκείνῳ τῷ τόπῳ. δεῖ δὲ γράφειν ὧδε· τὸ γὰρ λεγόμενον ἐστὶν οὕτως ἐπεβιάσθησαν ὥστε χρείαν ἔχειν ἡμᾶς συμμαχίας:—

— καί οἱ Τεῦκρος: ἀθετεῖται ὁ στίχος ὑπὸ τοῦ κ[illegible] λεγόμενος διὰ ταῦτα:—

αὐτίκ' Ὀϊλιάδην: ὁ Ζηνόδοτος γράφει αὐτίκ' ἄρ' Ὀϊλιάδην. Ὀϊλιάδην δὲ δὴ ἁπαντὸς ὁ ποιητὴς λέγει, καὶ ὅτι λείπει ἡ πρός:— · Αἴαντε σφῶϊ μέν. ὅτι Ζηνόδοτος γράφει σφῶε. τοῦτο δὲ ἐστὶν αὐτοὺς ὅπερ οὐχ ἁρμόζει. τὸ δὲ σφῶϊ ὑμεῖς:—

αὐτὰρ ἐγὼ κεῖσ' εἶμι: ὁ Ζηνόδοτος γράφει κεῖθι, τοῦτο δὲ σημαίνει ἐν ἐκείνῳ τῷ τόπῳ. τὸ δὲ κεῖσε εἰς ἐκεῖνον τὸν τόπον πορευόμενοι ὅπερ νῦν ἁρμόζει:—

— τείχεος ἐντὸς ἰόντες: ὑποστικτέον ἔσω τοῦ ἰόντες καὶ ἵκοντο. περισσεύει δὲ ὁ [illegible] σύνδεσμος ὁ οἱ δ' ἐπ' ἐπάλξεις καιρόν:—

οἱ δ' ἐπ' ἐπάλξεις βαῖνον: ὁ εἰ μὴ μολὼν περὶ κρόσσας τὰς κλίμακας. πῶς ἂν ἄλλως δύναιτο ἀναβαίνειν ἐπὶ τὸ τεῖχος:—

Σαρπήδοντος ἑταῖρον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ὡς Χαλκέδοντος· οὐ γὰρ δύναται ἔτι φυλάσσεσθαι ὁ τόνος τοῦ Σαρπηδόνος γενικῆς διὰ τὸ μὴ δύνασθαι τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχεσθαι τὴν διὰ τοῦ ντ κλίσιν· ἐν [illegible] γὰρ καὶ τὸ ἑκὼν μετοχή. χειρί γε τῇ ἑτέρῃ· οὕτως αἱ Ἀριστάρχου καὶ αἱ πλείους· χειρὸς ἀμφοτέρῃσιν· ἐν δὲ ταῖς κοινοτέραις χειρί γε τῇ ἑτέρῃ φέροι ἀνὴρ ὅπερ [illegible] τὴν ἰσχὺν τοῦ Αἴαντος:- ἀρνευτῆρι ἐοικώς: ἀρνευτὴρ ὁ κυβιστητὴρ παρὰ τὸ ἄρνας· οὗτοι γὰρ κυβιστῶσιν ὥσπερ [illegible] πηδῶσι δὲ τοῖς δελφῖσι· οἱ γὰρ ἄρνες ἐπὶ κεφαλὴν ἵενται ὅταν [illegible]:- ἰῷ ἐπεσσύμενον: οὐ πάντως [illegible] ἐπὶ τὸ ἰῷ, καὶ συναπτέον γὰρ [illegible] ἐπεσσύμενον τεῖχος ἀντὶ τοῦ ἐπὶ τὸ τεῖχος:-

Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Σαρπήδοντος ἑταῖρον Ἐπικλῆα μεγάθυμον
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεος ἐντὸς
κεῖτο μέγας παρ' ἔπαλξιν ὑπέρτατος· οὐδέ κε μὶν ῥέα
χειρί γε τῇ ἑτέρῃ φέροι ἀνὴρ οὐδὲ μάλ' ἡβῶν,
οἷοι νῦν βροτοί εἰσ'· ὁ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρας.
θλάσσε δὲ τετράφαλον κυνέην· σὺν δ' ὀστέ' ἄραξε
πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, λίπε δ' ὀστέα θυμός.
Τεῦκρος δὲ Γλαῦκον κρατερὸν παῖδ' Ἱππολόχοιο
ἰῷ ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο
ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα· παῦσε δὲ χάρμης.
ἂψ δ' ἀπὸ τείχεος ἆλτο λαθών· ἵνα μή τις Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετόῳτ' ἐπέεσσι.
Σαρπήδοντι δ' ἄχος γένετο· Γλαύκου ἀπιόντος
αὐτίκ' ἐπεί τ' ἐνόησεν· ὅμως δ' οὐ λήθετο χάρμης.
\> ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας
νύξ'· ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' ἑσπόμενος πέσε δουρὶ
πρηνής· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν
ἕλχ'· ἡ δ' ἕσπετο πᾶσα διαμπερές· αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη· πολέεσσι δὲ θῆκε κέλευθον.
\> τὸν δ' Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ'· ὁ μὲν ἰῷ
\> βεβλήκει τελαμῶνα περὶ στήθεσσι φαεινὸν
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε

ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα· καθὸ μέρος ἐθεάσατο αὐτοῦ τὸν βραχίονα γυμνωθέντα:- βλήμενον ἀθρήσειε· [illegible] καὶ τοῦ [illegible] ἄλειος ἀθρόος [illegible]:- αὐτίκ' ἐπεί τ' ἐνόησεν· τὸ ἑξῆς ἐστιν ἐπεὶ ἐνόησε παρελκόντος τοῦ τε [illegible]:- ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα· ὁ τοῦ Κάλχαντος ἀδελφὸς [illegible]:-

+ ἡ δὲ διαπρὸ· οὕτως οὐδὲ διαπρὸ αἱ ἀριστάρχου· ἡ δὲ κοινὴ ἡ δὲ διαπρὸ· χάζετ' ἐπεί οἱ θυμὸς ἐέλπετο. οὕτως διὰ τοῦ π ἐέλπετο αἱ ἀριστάρχου· οὐχὶ διὰ τοῦ α ἐέλδετο:—

ἀρίσταρχος ἐφαμαρτεῖτε
ἄλλοι δὲ ἐφομαρτεῖτον
ἄλλοι δὲ ἐφομαρτεῖτε

+ τείχεος ἔντοσθεν· ὁ τρόπος ἤλλακται· μέγα δὲ σφίσι φαίνετο ἔργον· ἤδη αὐτοῖς ἐνεδείκνυντο τῆς μάχης ἔργον οὐ κατὰ τὴν διάνοιαν:—

οὐ πέλας ἦσαν

ζητοῦντες τὸ ἴσον μέρος τῆς χώρας

ἀσπίδας εὐκύκλους· πρὸς τὸ λαισήϊα· ὅτι οἱ μὲν κατὰ ὄρτι παραδέδεικται εὐκύκλους παραμένει κτείς τὸ λαισήϊα· οἱ δὲ ἐπαφερόμενοι· ἔνιοι δὲ λαισήϊα ἐξ αὐτῆς τῶν προσώπων:—

παιδὸς ἑοῦ. μὴ νηυσὶν ἔπι πρύμνῃσι δαμείη.
αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος. οὐδὲ διαπρὸ
ἤλυθεν ἐγχείη· στυφέλιξε δέ μιν μεμαῶτα.
χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιος. οὐδ' ὅ γε πάμπαν
χάζετ'· ἐπεί οἱ θυμὸς ἐέλπετο κῦδος ἀρέσθαι·
κέκλετο δ' ἀντιθέοισιν ἑλιξάμενος λυκίοισιν·
ὦ λύκιοι. τί τ' ἄρ ὧδε μεθίετε θούριδος ἀλκῆς·
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι.
μούνῳ ῥηξαμένῳ. θέσθαι παρὰ νηυσὶ κέλευθον·
ἀλλ' ἐφομαρτεῖτον. πλεόνων δέ τοι ἔργον ἄμεινον·
ὣς ἔφαθ'. οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν.
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ ἄνακτα·
ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
τείχεος ἔντοσθεν. μέγα δέ σφισι φαίνετο ἔργον·
οὔτε γὰρ ἴφθιμοι λύκιοι. δαναῶν ἐδύναντο
τεῖχος ῥηξάμενοι. θέσθαι παρὰ νηυσὶ κέλευθον·
οὔτε ποτ' αἰχμηταὶ δαναοί. λυκίους ἐδύναντο
τείχεος ἂψ ὤσασθαι· ἐπεὶ τὰ πρῶτα πέλασθεν·
οθ ἀλλ' ὥς τ' ἀμφ' οὔροισι δύ' ἀνέρε δηριάασθον
μέτρ' ἐν χερσὶν ἔχοντε ἐπιξύνῳ ἐν ἀρούρῃ.
ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης.
ὣς ἄρα τοὺς διέεργον ἐπάλξιες. οἱ δ' ὑπὲρ αὐτέων
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
ἀσπίδας εὐκύκλους. λαισήϊά τε πτερόεντα·
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ.

† ἢ μὲν ὅτῳ στρεφθέντι· Ζηνόδοτος ὅτεῳ καὶ ἐμφαίνει ὁμηρικὸν χαρακτῆρα, καὶ γὰρ ἀλλαχοῦ φησι ... τὸ πατὴρ κέλευε:- πάντῃ δὴ πύργοι, ὁ μὲν Ἀρίσταρχος τὸν δὴ σὺν τῷ δ παρέλαβεν, Πραμνίων δὲ ἐκδέχεται τὸ ἢ ἐπιρρηματικὸν ἵνα δύο μὲν ᾖ λόγου ὑπὰρ δὲ καὶ ἢ καὶ προστίθησι τὸ ἰ καὶ δασύνει ὁμοίως τῷ ᾗ πρόσω ὀλιγοδρανέων· οὐκ ἀναγκαῖον δὲ ἢ ἄλλ γὰρ πρόκειται τὸ πάντῃ τοπικόν:- ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον. τάχα τὸ ἑξῆς ἐστὶν ἀμφὶς ἰσάζουσα ἀμφοτέρωθεν ἰσοῦσα· οἱ γὰρ ἱστάντες ἑκατέρωθεν ἀφορῶσιν. χερνῆτις, ἡ ἀπὸ τῶν ἔργων τῶν ἰδίων χειρῶν ζῶσα ὅ ἐστι μισθοῦ ἄλλοις ἐργαζομένη:-

ἢ μὲν ὅτῳ στρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων· πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
πάντῃ δή ῥα πύργοι καὶ ἐπάλξεις αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν·
ἀλλ' οὐδ' ὣς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν.
ἀλλ' ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής·
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει·
ἰσάζουσ' ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται·
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε·
πρίν γ' ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορι δῶκε
Πριαμίδῃ. ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν·
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
ὄρνυσθ' ἱππόδαμοι Τρῶες. ῥήγνυσθε δὲ τεῖχος
Ἀργείων. καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ·
ὣς ἔφατ' ἐποτρύνων. οἳ δ' οὔασι πάντες ἄκουον
ἴθυσαν δ' ἐπὶ τεῖχος ἀολλέες· οἳ μὲν ἔπειτα
κροσσάων ἐπέβαινον. ἀκαχμένα δούρατ' ἔχοντες·
Ἕκτωρ δ' ἁρπάξας λᾶαν φέρεν. ὅς ῥα πυλάων
ἑστήκει πρόσθε. πρυμνὸς παχύς. αὐτὰρ ὕπερθεν
ὀξὺς ἔην. τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίστω
ῥηϊδίως ἐπ' ἄμαξαν ἀπ' οὔδεος ὀχλίσσειαν
οἷοι νῦν βροτοί εἰσ'. ὃ δέ μιν ῥέα πάλλε καὶ οἶος.
τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω·
ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς
χειρὶ λαβὼν ἑτέρῃ. ὀλίγον τέ μιν ἄχθος ἐπείγει.

ἰσάζουσ' ἵνα παισίν. οὕτως μετὰ τοῦ ν ἀμφὶς ἕλκουσα ἔχουσα ἴσον, ἴσον αὐτοῖς ἀπονέμουσα ἀμφοῖν διδοῦσα, ἵνα ἀεικέα τὸν ἐλάχιστον ... παράδοξον προφέρεται ἀπέριττε μισθόν:- ἤϋσεν δὲ διαπρύσιον. ὅ ἐστι διὰ τοῦτό φησιν οὐ κάτω τοῦ Ἕκτορος διὸ καὶ ἐπακούοντες ὡς φάτ' ἐποτρύνων· οἳ δ' οὔασι πάντες ἄκουον:- ὣς φάτ' ἐποτρύνων. διὰ τοῦτο ἀκριβὴς γίνεται ἡ ἀκοὴ ... κειμένης ἀμφιλογίας· οὐ γὰρ δὴ ἄλλως ἐδύναντο πάντες ἀκούειν εἰ μὴ ὁ Ζεὺς ἐπεφώνησε:- κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντα:- ὅτι Ζηνόδοτος γράφει κροσσάων ἐπέβαινον ἐπεὶ θεοῦ ἐκλύον αὐδήν:- ἑστήκει πρόσθε, πρυμνὸς παχύς ... τὸ πρόσθε συνδετικόν ... ὑπ' ἀμφοτέρων τὰς λέξεις· ἔν γὰρ τὸ σημαινόμενον κατὰ τὸ ἔσχατον παχύς, κατὰ δὲ τὸ ἄκρον ὀξύ:- τόν οἱ ἐλαφρὸν ἔθηκε. ὅτι ἐκλύεται ... τοῦ βαστάζοντος δύναμιν καὶ Ἀριστοφάνης ἀθετεῖ, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν:-

ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰός. μέγας γὰρ ὁ τοῦ ἄρρενος ... πάχυτέρα. καὶ ὅτι ... ὑποδεέστερον ... τῇ τραχύτητι καὶ τῷ χρώματι τοῦ λίθου ἐστίν:-

εἶχον ἐπημοιβοί: ὅτι δύο φησὶ μοχλοὺς εἶναι ἐπὶ τῆς πύλης ἐξ ἑκατέρας λίας ἕνα ἐπαλλασσομένους κατὰ μέσον, καὶ ἐπὶ τοῖς ἄκροις ἐγκλειομένους διὰ τῆς σημειουμένης μιᾶς κλειδός: ἐπημοιβοί: εἰς μέσον συναπτόμενοι οἱ δὲ εἰς ἓν ἐφ' ἕνα, μία δὲ ἐπ' αὐτοῖς κλεὶς ἥρμοσται: —

ὡς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας.
αἵ ῥα πύλας εἴρυντο. πύκα στιβαρῶς ἀραρυίας.
> δικλίδας. ὑψηλάς. δοιοὶ δ' ἔντοσθεν ὀχῆες
> εἶχον ἐπημοιβοί. μία δὲ κληῒς ἐπαρήρει.
στῆ δὲ μάλ' ἐγγὺς ἰὼν. καὶ ἐρεισάμενος βάλε μέσσας.
> εὖ διαβάς. ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη.
ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς. πέσε δὲ λίθος εἴσω
βριθοσύνῃ. μέγα δ' ἀμφὶ πύλαι μύκον. οὐδ' ἄρ' ὀχῆες
ἐσχεθέτην. σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη.
λᾶος ὑπὸ ῥιπῆς. ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ
> νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια. λάμπε δὲ χαλκῷ
σμερδαλέῳ. τὸν ἕεστο περὶ χροΐ. δοιὰ δὲ χερσὶ
δοῦρ' ἔχεν. οὐ κέν τίς μιν ἐρύκακοι ἀντιβολήσας.
νόσφι θεῶν. ὅτ' ἐσᾶλτο πύλας. πυρὶ δ' ὄσσε δεδήει.
κέκλετο δὲ Τρώεσσιν ἑλιξάμενος καθ' ὅμιλον
τεῖχος ὑπερβαίνειν. τοὶ δ' ὀτρύνοντι πίθοντο.
> αὐτίκα δ' οἱ μὲν τεῖχος ὑπέρβασαν. οἱ δὲ κατ' αὐτὰς
> ποιητὰς ἐσέχυντο πύλας. Δαναοὶ δὲ φόβηθεν
νῆας ἀνὰ γλαφυράς. ὅμαδος δ' ἀλίαστος ἐτύχθη. —

εὖ διαβάς ἵνα μὴ ἀφαυρότερον βέλος εἴη: ὅτι παρὰ τὸ ἀμφότερον οὕτως λέγει καὶ ἀντὶ τοῦ χεῖρον. καὶ ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἡρμήνευσεν: —
— θαιρούς: τοὺς στρόφιγγας καθ' οὓς θαιροὺς φησὶ διὰ τὸ δι' αὐτῶν θεῖν τὰς πύλας: —
λᾶος ὑπὸ ῥιπῆς: προπερισπαστέον τὸ λᾶος κλίσεως. ἀπὸ γὰρ εὐθείας πεποίηκε διὰ συλλαβῆς, κατὰ τὴν τοῦ ποιητοῦ χρῆσιν. καὶ ὤφειλε τρισυλλάβως ἢ γενικὴ συναμφοτέρων λᾶαν οὖσα. τὴν δὲ πρόθεσιν τυραννίαν ἀναστρέφει, ἵνα τὸ ὑπὸ τῆς ὑπὸ ῥιπῆς. οὐκ ἀναγκαῖον δέ. τί γὰρ κωλύει φυλάσσεσθαι τὸν τόνον τῆς προθέσεως καὶ εἶναι ὑπὸ ῥιπῆς μετά: —
νυκτὶ θοῇ: ὅτι ταὐτὸν θέα νυκτὶ ὁμοῖοι πρόσφοροι. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. Ζηνόδοτος γράφει νυκτὶ ὁμοῖοι πρόσφοροι. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. ὁ Ζηνόδοτος γράφει νυκτὶ ἐοικώς: —
τεῖχος ὑπερβαίνειν: ὅτι καθ' ὃ μέρος ἀσθενὲς ἐποίησαν οἱ Λύκιοι οὐκ ἀνθίσταντο: —
— ποιητὰς ἐσέχυντο πύλας: ὅτι μία πύλη ὥσπερ ἐπὶ τῆς ἐπὶ τῆς ἀντικὸς δὲ εἴρηται. καὶ ὅτι ἐφ' ἕτερον ὡς ἐπὶ τὰς νῆας. διὰ ταύτης δὲ εἰσδέχονται τῆς πύλης διῆσσον Ἕκτορι: —
ὅμαδος δ' ἀλίαστος.
— τὸ μὲν ὅμαδος δασυντέον· ἔχει γὰρ τὸ ὁμοῦ. ἀλκείης τὸ δὲ ἀμίαστο τιλωτέον· ἐπὶ γὰρ τῆς ἧσσον ὅσα τοῦ μ. αιτοσ ὁ περὶ Ἀρισταρχον καὶ ἀπὸ τοῦ λίαν. ἡ γεῖτον ἀμφὶ διὰ ῥαφαῖς λιαζόμενον κύματα: —

παράκειται τὰ ἀριστονίκου σημεῖα καὶ τὰ διδύμου περὶ τῆς ἀρισταρχείου διορθώσεως. τινὰ δὲ ἐκ τῆς ἰλιακῆς προσῳδίας ἡρωδιανοῦ. καὶ ἐκ τῶν νικάνορος περὶ στιγμῆς.

Μ

ΙΛΙΑΔΟΣ Ν

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε·
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν·
Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν·
γλακτοφάγων ἀβίων τε δικαιοτάτων ἀνθρώπων·
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἔλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν·
οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων ἐνοσίχθων·
καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη·
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν·
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών· ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους· Διὶ δὲ κρατερῶς ἐνεμέσσα·
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος·
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος·
τρὶς μὲν ὀρέξατ' ἰών· τὸ δὲ τέτρατον ἵκετο τέκμωρ·
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
χρύσεα μαρμαίροντα τετεύχαται· ἄφθιτα αἰεί·
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω·
ὠκυπέτα· χρυσέῃσιν ἐθείρῃσιν κομόωντε·
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην

EPIC POEM .ORG
DIGITAL CLASSICS